ὡς οἱ νοσούντων δυστρόπων τινῶν πάνυ
ἀγνώμονές τε δυσχάριστοί τε τρόποι·
εἰ γὰρ νοσῶν τις δυσχερῶς, σωθῇ δ' ὅμως
ἥδιστα τέχνῃ κἀσφαλῶς καὶ συντόμως,
οὐκ αἰτιᾶται τῆσδε τῆς σωτηρίας
Ἰατρὸν, ἢ τούτου γε τὴν ἐμπειρίαν,
ἀλλ' ἢ τὸ κοῦφον κἀδρανὲς τὸ τῆς νόσου.
καὶ ταῦτα πρὸς τί μᾶλλον; ἢ στερεῖν ὅλως
Ἰατρὸν εὐκλείας τε κἀγαθῆς τύχης.

Ἄλλο.

Εἴρηκα πρόσθεν τὰς Ἀκεστόρων τύχας,
ἐρῶ δ' ἐφεξῆς τοὺσδ' ὁποίους χρὴ πέλειν.

Ἄλλο.

Πολλοὶ μέν εἰσι πολλαχοῦ Γῆς οἱ τέχνην
Ἰατρικὴν ἀσκοῦσιν· Ἰατρῶν δ' ὅμως
σπάνις μεγίστη τῶν ἐναργῶς εἰδότων
ἀλθέξεως τρόπον τε καὶ φύσιν νόσων.

Ἄλλο.

Ἰατρός ἐστιν οὐχ' ὁ κάμνουσι βλάβην
τοῖς ἀλλεπαλλήλοισι φαρμάκοις φέρων,
ἀλλ' ὅς τις οἶδεν ἐμφανῶς νόσου φύσιν,
διδοῖ μόνον δὲ τοῖσδ' ὃ σύμφορον πέλει.

Ἄλλο.

Ἐπείπερ ἀλθαίνειν μὲν εὐστόχως νόσον
οὐκ ἔστιν ἄλλο μηδὲν, ἢ τὴν αἰτίαν
γνῶναι σαφῶς τὴν δρῶσαν, εἶτα φαρμάκοις,